Τὸ μὲν οὖν πλῆθος τῆς στρατιᾶς δέκα μυριάδες ἐγένοντο[1] ἄνευ τῶν σκευοφόρων καὶ τῶν μηχανοποιῶν καὶ τῶν πεζῶν καὶ τῶν ξένων συμμάχων· τούτων δὲ ὀκτακισμύριοι μὲν ἦσαν οἱ Ἱππόγυποι, δισμύριοι δὲ οἱ ἐπὶ τῶν Λαχανοπτέρων. Ὄρνεον δὲ καὶ τοῦτό ἐστι μέγιστον, ἀντὶ τῶν πτερῶν λαχάνοις πάντῃ λάσιον, τὰ δὲ ὠκύπτερα ἔχει θριδακίνης φύλλοις μάλιστα προσεοικότα. Ἐπὶ δὲ τούτοις οἱ Κεγχροβόλοι ἐτετάχατο[2] καὶ οἱ Σκοροδομάχοι. Ἦλθον δὲ αὐτῷ[3] καὶ ἀπὸ τῆς ἄρκτου σύμμαχοι, τρισμύριοι μὲν Ψυλλοτοξόται, πεντακισμύριοι δὲ Ἀνεμοδρόμοι· τούτων δὲ οἱ μὲν Ψυλλοτοξόται ἐπὶ ψυλλῶν μεγάλων ἱππάζονται, ὅθεν καὶ τὴν προσηγορίαν ἔχουσιν· μέγεθος δὲ τῶν ψυλλῶν ὅσον[4] δώδεκα ἐλέφαντες· οἱ δὲ Ἀνεμοδρόμοι πεζοὶ μέν εἰσιν, φέρονται δὲ ἐν τῷ ἀέρι ἄνευ πτερῶν· ὁ δὲ τρόπος τῆς φορᾶς τοιόσδε. Χιτῶνας ποδήρεις ὑπεζωσμένοι[5] κολπώσαντες αὐτοὺς τῷ ἀνέμῳ καθάπερ ἱστία φέρονται ὥσπερ τὰ σκάφη. Τὰ πολλὰ δ’ οἱ τοιοῦτοι ἐν ταῖς μάχαις πελτασταί εἰσιν. Ἐλέγοντο δὲ καὶ ἀπὸ τῶν ὑπὲρ τὴν Καππαδοκίαν ἀστέρων ἥξειν Στρουθοβάλανοι μὲν ἑπτακισμύριοι, Ἱππογέρανοι δὲ πεντακισχίλιοι. Τούτους ἐγὼ οὐκ ἐθεασάμην· οὐ γὰρ ἀφίκοντο. Διόπερ οὐδὲ γράψαι τὰς φύσεις αὐτῶν ἐτόλμησα· τεράστια γὰρ καὶ ἄπιστα περὶ αὐτῶν ἐλέγετο.

1 Le verbe s'accorde ici au pluriel sous l'influence de l'idée de pluralité exprimée par le sujet et par le nom de nombre précédent.
2 Forme ionienne de l'indicatif plus-que-parfait passif 3eme pl. Emprunt parodique à Hérodote (VI, 113) ou à Thucydide (V, 6).
3 Endymion, le chef des troupes des Sélénites.
4 [τοσοῦτον ἐστι] ὅσον – est équivalente à
5 Participe parfait passif du verbe ὑποζώννυμι : ayant retroussé autour de leurs reins les tuniques qui leur tombent jusqu'aux pieds